'Ανακρεόντεια ὅλα ᾄσματα γέγραπται... τρίμετρα δέ· "ἔστε—ἐοικότες".

iamb.

**2** *Anth. Pal.* 13. 4 'Ανακρέοντος·

⊗ ἀλκίμων σ' ὦ 'Αριστοκλείδη πρῶτον οἰκτίρω φίλων·
ὤλεσας δ' ἥβην ἀμύνων πατρίδος δουληΐην.

iamb.

**3** Iulianus *Misop.* 38 p. 366b

εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

iamb.

**4** Epimer. in Hom., *An. Ox.* i. 288. 3 Cramer; *Et. Gen./Magn./Sym.* s.v. ἐκκεκωφέαται

αἱ δέ μεο φρένες
ἐκκεκωφέαται.

iamb.

**5** *Et. Gen./Magn.* s.v. κνύζα... παρὰ 'Ανακρέοντι ἐν ἰάμβῳ·

κνυζή τις ἤδη καὶ πέπειρα γίνομαι
σὴν διὰ μαργοσύνην.

Eust. in Hom. p. 1746. 13 ex Herodiano (i. 446. 1 Lentz).

iamb.

**6** Zonaras p. 1512 πανδοκεῖον· ... τὸν δὲ μοχλὸν ἐν τῷ χ καὶ 'Αττικοὶ καὶ Δωριεῖς, καὶ ῎Ιωνες πλὴν 'Ανακρέοντος· οὗτος δὲ μόνος σχεδὸν τῷ κ· Ζηνόδοτος δὲ ⟨κἀνταῦθα τῷ χ⟩·